A BISETUS. Ὦ ξένε] Μνησίλοχος ὡς Ἀνδρομέδη τὴν τοῦ Εὐελπίδου βοήθειαν ὡς Περσέως ἐπικαλῶν αἰτεῖ.

BOURDINUS. Κατοίκτειρον] ἐλέησον. Λῦσον.] ἔκλυσον ἐκ τῶν δεσμῶν. Λαλῆς.] φλυαρῇς. Κατάρατο τολμᾷς.] ἐπάρατος οὖσα τολμᾷς. Ἀποθανουμένη λαλᾶς] φλυαρεῖς. Παρθένα.] ἀντὶ τοῦ παρθένος. Γέρων ἁμαρτωλὴ] ἐξαμαρτάνων.

BISETUS. Οὐκί μι] καὶ ταῦτα βαρβάρως εἴρηται, ἀντὶ τοῦ, οὐκὶ λαλῇς σύ. ὦ κατάρατε λαλεῖν τολμᾷς; ἀποθανουμένη λαλεῖς; Οὐ παρθέν' ἐστὶν] καὶ ταῦτα βάρβαρα. ἀλλ' οὕτως ἑλληνιστί. αὕτη οὐκ ἔστι παρθένος, ἀλλὰ γέρων ἁμαρτωλὸς, καὶ κλέπτης, καὶ πανοῦργος.

Καὶ κλέπτω καὶ πανοῦργο. Ευ. Ληρεῖς ὦ Σκύθα
B Αὕτη γάρ ἐστιν Ἀνδρομέδα παῖς Κηφέως
Σκ. Σκέψαι τὸ σκῦτο μήτι μικτὸν παίνεται.
Ευ. Φέρε. δεῦρο. δεῦρό μοι τὴν χεῖρ' ἵν' ἅψωμαι κόρης.
Φέρε. Σκύθ' ἀνθρώποισι γὰρ νοσήματα
Ἅπασιν ἐστίν. ἐμὲ δὲ καὐτὸν τῆς κόρης
Ταύτης ἔρως εἴληφεν. Σκ. οὐ ζηλῶ τί σε.
Ἀτὰρ εἰ τὸ πρωκτὸ δεῦρο περιεστραμμένον
C Οὐκ ἐπθόνησας αὐτὸ πυγίζεις ἄγων.
Ευ. Τί δ' οὐκ ἐᾷς λύσαντά μ' αὐτὴν ὦ Σκύθα
Πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος.
Σκ. Εἰ σφόδρ' ἐπιθυμεῖς τὴ γέροντο πύγισο
Τῇ σανιδο τρήσας ἐξόπισθο πρώκτισον.
Ευ. Μὰ Δί' ἀλλὰ λύσω δέσμα. Σκ. μαστιγῶ σ' ἄρα.
D Ευ. Καὶ μὴν ποιήσω τοῦτο. Σκ. τὸ κεπαλῆς ἄρα
Τὸ ξιπομάχαιρον ἀποκεκόψοι τουτοί.
Μν. Αἰαῖ τί δράσω, πρὸς τίνας στρεφθῶ λόγους;
Ἀλλ' οὐκ ἂν δέξαιτο βάρβαρος φύσις.
Σκαιοῖσι γάρ τοι καινὰ προσφέρων σοφὰ
Μάτην ἀναλίσκοις ἄν, ἀλλ' ἄλλην τινὰ
E Τούτῳ πρέπουσαν μηχανὴν προσοιστέον.
Σκ. Μιαρὸς ἀλώπηξ οἷον ἐπιτηκίζει μοι.
Μν. Μέμνησο Περσεῦ μ' ὡς καταλείπεις ἀθλίαν.
Σκ. Ἔτι γὰρ σὺ τὴν μάστιγα ἐπιθυμεῖς λαβεῖν.
Χο. Παλλάδα τὴν φιλόχορον ἐμοὶ
Δεῦρο καλεῖν νόμος ἐς
F Χορὸν, παρθένον
Ἄζυγα κόρην,

*Et fur, & maleficus.* EV. *Nugaris ô Scytha,*
*Hæc enim est Andromeda filia Cephei.*
*SC. Specta virile membrum, nunquid paruũ videtur?*
EV. *Age huc huc mihi manum, vt tangam puellam.*
*Age Scytha, hominibus enim morbi*
*Omnibus sunt, me verò etiam ipsum puellæ*
*Huius amor cepit. SC. Non æmulor quicquam te:*
*Sed si podicem huc conuersum*
*Non inuidisses, ipsum subagitares abducens.*
EV. *Quid verò non permittis soluentem me ipsam ô Scytha,*
*Cadere & in lectum, & in nuptiale cubile?*
*SC. Si valde cupis, senem subagita:*
*Tabulam perforans à tergo subagita.*
EV. *Non per Iouem, sed soluam corpus. SC. flagellabo te quidem.*
EV. *Verùm faciam hoc. SC. caput igitur*
*Ensis abscindet hic.*
MN. *Heu heu, quid faciam? ad quásnam conuertar rationes & consilia?*
*Sed non admitteret barbara natura.*
*Imperitis enim & asperis noua afferens consilia,*
*Frustra tempus & laborem consumeres: sed aliud quoddam*
*Huic conueniens consilium afferendum est.*
*SC. Scelesta vulpes vt simiam agit mihi.*
MN. *Memento Persen, me quòd deseres miseram.*
SC. *Adhuc enim tu flagellum cupis accipere.*
CHO. *Palladem amicam chorearum mihi*
*Huc vocare lex est,*
*Ad chorum, virginem,*
*Inconiugatam puellam,*

BOURDINUS. Καὶ κλέπτω καὶ πανοῦργο] τουτέστι κλέπτων καὶ πανουργευόμενος. Σκέψαι.] σκυθικῶς τοῦτο λέγεται. σημαίνει δὲ σκέψαι τὸ αἰδοῖον πότερα μικρὸν σοι φαίνεται. Ἅψωμαι] ἐφάπτωμαι. Νοσήματα.] ἀπὸ τοῦ ἀφροδισιαστικοῦ ἔρωτος. Ἐπθόνησας.] ἐφθόνησας. Πυγίζεις ἄγων.] ἐπύγισας, διέφθειρας, αἴσχιστα εἰργάσω. Γαμήλιοι] τουτέστι γαμεῖν ἐκείνη. Γεροντοπύγισο] πύγισον τὸν γέροντα. Σανιδοτρήσας.] τρήσας τὴν σανίδα καὶ διατρυπησάμενος. Ἐξοπισθοπρώκτισον] ἐξόπισθεν καταπύγισον, καὶ καταπρώκτισον. Τὸ ξιπομάχαιραν.] γνώμη ἤδη ἐστὶν, τὴν τούτου κεφαλὴν καὶ κάρα τοῦτο τὸ ξίφος ἀποκόψει. Στρεφθῶ.] στραφῶ. Σκαιοῖσι γάρ.] καὶ γάρ φησιν ἄφροσι καινήν τινα προσφέρων σοφίαν, μάτην ἂν τοῦτο ποιοῖς. Ἀναλίσκοις] πόνον, τουτέστι πονήσαις, ἀπωλέσαις. Ἀλλ' ἄλλην τινὰ] ἀλλὰ δεῖ καινῆς τινος μηχανῆς καὶ σοφίσματος, εὑρήματός τε πρέποντος τούτῳ. Μιαρὸς] διὰ τὴν κακουργίαν. Ἐπιτηκίζει μοι.] ἀντὶ τοῦ ἐπιπιθηκίζει. ὡς δὴ πίθηκον μιμεῖται, καί με φενακίζειν, ἐξαπατᾶν τε βούλεται. Ἄζυγα.] μήπω ζευχθεῖσαν μηδὲ γαμηθεῖσαν.

G BISETUS. Σκέψαι τὸ σκῦτο] σκέψαι τὸ σκύτος, μή τι μικρὸν φαίνεται; σκύτος δὲ, πᾶν δέρμα. ἀλλὰ διεζωσμένοι εἰσῄεσαν οἱ κωμικοὶ ὑποκειται. οἱ δὲ αἰδοῖα δερμάτινα γελοίου χάριν ἐπάνω τῶν ἰσχίων, καὶ τῶν αἰδοίων περικείμενοι. καὶ τοῦτ' ἐστὶν, ὅπερ ὁ Σκύθης ἐνταῦθα νοεῖ. Ἀτὰρ εἰ] ἀτὰρ εἰ τὸν πρωκτὸν δεῦρο ἐστραμμένον οὐκ ἐφθόνησας, αὐτὸν πύγιζε ἄγων. ἄγε πυγίζων. τοῦτο γὰρ καθ' ὑπαλλαγὴν εἰρῆσθαι δοκεῖ. τὸ δὲ πυγίζω, πυγίσον ὀχεύω.